# TEZAUR LITURGIC

## 1 MAI

# SLUJBA SF.IERARH PANARET, EPISCOPUL PAFOSULUI CIPRULUI

MINEIUL PE MAI
NICOSIA,2000


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 1 ΜΑΪΟΣ
# ΠΑΝΑΡΕΤΟΣ ΠΑΦΟΥ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων τὰ κάλλη ποθήσας ἔνδοξε, τῶν ἐπὶ γῆς ἠρνήσω, ἀγαθῶν τὰ ἡδέα, καὶ μέσον τῆς τοῦ κόσμου τύρβης ἑστώς, ἐβιώσω θεάρεστα, ὡς ἐν ἐρήμῳ τὸ πάλαι οἱ ἐκλεκτοί, ἱερώτατε Πανάρετε.

Ἱερωσύνης φορέσας τὸ περιβόλαιον, ἁγιωσύνῃ τοῦτο, ἐκοσμήσω ὡς ἔννους, καὶ ὤφθης ἐν τῷ μέσῳ τῶν ἀκανθῶν, ὥσπερ ῥόδον ἡδύπνοον, εὐωδιάζον ἐνθέοις σου ἀρεταῖς, τοὺς τιμῶντάς σε Πανάρετε.

Ὡς διεδέξω τὸν θρόνον τοῦ τεταρταίου καλῶς, οὕτω καὶ τὰς ἐκείνου, ἀρετὰς ἀπεκτήσω, καὶ φίλος κατεστάθης ὄντως Χριστοῦ, πληρωτής τε γενόμενος, τῆς φερωνύμου σου κλήσεως ἐν καιροῦς, τοῖς ὑστέροις ἱερώτατε.

Ἐν ἀρεταῖς διαπρέψας ὁ τούτων γνήσιος, ποιμὴν ἀνηγορεύθη, θείᾳ ψήφῳ τῆς Πάφου, καὶ ἔξοχος ἐδείχθης καὶ θαυμαστός, ἐν τῷ τέλει καὶ ἔμπλεως, καρποφορίας ἐνθέου ὡς νουνεχής, ὁ θεόσοφος Πανάρετος.

*Δόξα. Ἦχος πλ. α΄.*

Σὺν ἀρεταῖς διαπρέψας φαειναῖς, τὸν τῶν ἀρετῶν πάροχον, ἐν σεαυτῷ ἐταμίευσας Πανάρετε· καὶ τὴν ἱερὰν φορέσας στολήν, σῶμα καὶ ψυχὴν ἐστόλισας, καὶ ἡγίασας πανένδοξε· ὅθεν σὺν Ἀγγέλοις χορεύεις ἐν τῇ τῆς οὐρανίου ἱεραρχίας μεθέξει, καὶ ὑπὲρ τῶν τιμώντων σε, τὴν πρεσβείαν σου τῷ Θεῷ ποιούμενος, παρέχεις ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Οἶκος φωτοειδής, τῶν ἀρετῶν ἐδείχθης, καὶ σκεῦος θεοφόρε, τοῦ Πνεύματος τοῦ θείου, καὶ μύστης θείας χάριτος

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Ὕμνους θεοτερπεῖς, προσφέρομέν σοι Πάτερ, Χριστοῦ ἱεράρχα, καὶ πόθῳ της μορφῆς σου, τὸν τύπον ἀσπαζόμεθα.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Φέρων τῶν ἀρετῶν, τὸν ὁρμαθὸν ἁπάντων, τὴν κλῆσιν σὺν τῇ πράξει, συμφώνως ἐκαρπώσω, πανάριστε Πανάρετε.

*Δόξα. Καὶ νῦν.*

Ὑπέρθεε Τριάς, Πάτερ Υἱὲ καὶ Πνεῦμα, λιταῖς τῆς Θεοτόκου, καὶ τοῦ Σοῦ Ἱεράρχου, οἰκτείρησον τοὺς δούλους Σου.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῆς Πάφου τὸν ποιμένα εὐφημοῦντες δοξάσωμεν, τὸν ἀσκητικῶς ἐν τῇ πόλει, ὡς ἐν ὄρει βιώσαντα, καὶ πάσας τὰς θείας ἀρετάς, ὡς μίαν κτησάμενος σοφῶς· διὰ τοῦτο ὡς Πανάρετος ἐκ Θεοῦ, τῷ κόσμῳ ἐθαυμαστώθη· καὶ πρεσβεύει τῷ Θεῷ ὑπὲρ πάντων ἐκτενῶς, ὡς Ἱεράρχης θεόληπτος.

*Δόξα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τὸν τῆς Πάφου ποιμένα θεῖον Πανάρετον, ὡς Χριστοῦ Ἱεράρχην ἀνευφημήσωμεν· ὅτι ἐργάτης συνετός, πασῶν τῶν θείων ἀρετῶν, καὶ ἐν Ἁγίοις θαυμαστός, ἐγένετο ἐν ὑστέροις, καιροῖς καὶ πάντων προστάτης, τῶν ἀνυμνούντων αὐτοῦ τὴν κοίμησιν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! ἐν ὑστέροις χρόνοις, τὸν ἀρχαῖον δράκοντα, κατέβαλε κραταιῶς, Χριστοῦ τῇ χάριτι, Πανάρετος ὁ σοφός, ἱεραρχίας τὸ θεῖον κειμήλιον · ὃς βίον ἀσκητικόν, ἐπιποθήσας εὐάρεστος

γέγονε, ἔν τε τῷ Θεῷ ὁ μέγας, καὶ βροτοῖς καὶ δέδεικται, τοῖς ποθοῦσι ποιμαίνει, τὸν λαὸν κανὼν εὐθύτατος. *(Δίς)*

Ὢ τοῦ παραδόξου θαύματος! ὁ ἁπλοῦς τῷ τρόπῳ, ὑπεράνω δείκνυται, ἀρχόντων τῶν τοῦ λαοῦ, καὶ κλῆρον ἄριστα, βιώσας ἐν ἀρεταῖς, οὐχ ὡς οἱ πρώην ἐν τρώγλαις καὶ ὄρεσιν, ἀλλ' ἔνδον ὡς νουνεχής, τύρβης τοῦ κόσμου, ὡς ἄλλος Ἀπόστολος, καὶ τὰς ἀρετὰς ἐκείνων, τὰς αὐτὰς εἰργάσατο, ὡς σοφὸς Ἱεράρχης, ὡς ἐργάτης δοκιμώτατος. *(Δίς)*

Σήμερον φαιδρῶς ἀγάλλετα, πᾶσα ἡ Κυπρίων, νῆσος ἐν τῇ μνήμῃ σου, καὶ χαίρουσιν ἐν αὐτῇ, βροτῶν συστήματα· συγχαίρουσιν οἱ πιστοί, τῆς Βηθανίας καὶ Πάφου, μνησθέντες σου, ὃς Λάζαρος τὸν αὐτῶν, σὺ ἐμιμήσω καὶ τούτου διάδοχος, γεγονὼς Ὅσιε Πάτερ· σὺν αὐτοῖς ὑμνοῦμέν σε, ὡς πιστὸν οἰκονόμον, ὡς Πανάρετον ἐν πράγματι.

Σοὶ τῷ τοῦ Χριστοῦ θεράποντι, θείῳ Ἱεράρχῃ, οἱ πιστοὶ σεμνύνονται, ἰδόντες ἐν αὐχμηρῷ καιρῷ δροσίσαντα, τὴν δίψαν τῶν λογικῶν, Χριστοῦ προβάτων τοῦ σὲ ἀναδείξαντος, ποιμένα ὁλολαμπῆ, τῆς Ἐκκλησίας Αὐτοῦ παμμακάριστε, καὶ σὺν τοῖς Ἁγίοις πάντες, χαῖρέ σοι κραυγάζουσι, τῷ ἐμπαίξαντι ἄρτι, τὸν ἀρχέκακον Πανάρετε.

*Δόξα. Ἦχος πλ. β΄.*

Τῇ φερωνύμῳ σου κλήσει, τὴν πρᾶξιν κατάλληλον ἔδειξας· ἣν ἐν τῇ ἐνδόξῳ σου κοιμήσει, τοῖς συνοῦσί σοι ἀναφανδὸν ὁ Κύριος πεποίηκε. Τῦ γὰρ ἀρχαίου

πτερνιστοῦ, πάσας τὰς πλεκτάνας διαῤῥήξας, τὴν χάριν ἐπεσπάσω τοῦ Ἁγίου Πνεύματος, ἐν τῇ σῇ καρδίᾳ παμμακάριστε· καὶ αὐτὴν πλουσίως δεξάμενος, τὰς ἀρετὰς ἁπάσας ὡς μίαν ἐκατόρθωσας· ὅθεν καὶ Πανάρετος, ἔργῳ καὶ λόγῳ, ἐγένου καὶ πανθαύμαστος. Καὶ πρεσβεύεις ἐκτενῶς, ὑπὲρ τῶν πίστει τιμώντων, Ἱεράρχα τὴν μνήμην σου.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.*

*Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα*

Μνήμη δικαίου μέτ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ

φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν,καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται

αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεοτητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί, σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδὲν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλὸς ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δὸς μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ μὲ ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ

θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*

Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί· ἀθανασία γὰρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις, καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε· Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγὸς ἐστι, καὶ τῶν σοφῶν διορθωτής· καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις, καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλος Θεοῦ καὶ Προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δὲ ἐστιν ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν, φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐρρύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντὸς ἐστιν ἡ εὐσέβεια, καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ' οὐ μὴ παρελεύσεται πονηρούς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς.

Καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρὺς ἐστιν ἡμῖν καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων, ἴδωμεν οὖν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ ἔκριναν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου ἐξουσίαν, καὶ σῴζων ἐν καιρῷ θλίψεως καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ, ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς Ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

*Λιτή. Ἦχος α΄.*

Τὸν Ἱεράρχην τοῦ ὑψίστου Πανάρετον, νοῦς οὐκ ἐξαρκέσει ἐγκωμιάσαι σαφέστατα· ὁ γὰρ γενόμενος

γνήσιος τῷ Θεῷ, διὰ βίον καθαρότητος, τίς ὁ ὑπὲρ τούτου ἔπαινος; Καὶ ὁ νῦν σὺν τοῖς Ἀγγέλοις τὸν Θεὸν ὑμνολογῶν, τίς ἡ πρὸς αὐτὸν ὑμνῳδία ἡ ἡμετέρα; Ἀλλ' οὖν ὑπὲρ ἡμῶν τούτῳ προσείπωμεν· Ἱεράρχα Χριστοῦ μακάριε, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος β΄.*

Ἐν τῇ εὐθέτῳ βιοτῇ σου Πάτερ Ὅσιε, τὸν τὰ κρυπτὰ γινώσκοντα Θεὸν ἡμῶν, τοῦτον μόνον θεωρὸν εἶχες καὶ γνώστην, Ἱεράρχα Πανάρετε· ἐν δὲ τῇ ἐνδόξῳ σου κοιμήσει, οἱ πάντες ἔγνωσαν εἰκότως, τὰ κατὰ τοῦ διαβόλου τρόπαια, τὰς παρὰ Θεοῦ ἐκδεδομένας σοι δυνάμεις, καὶ τὰ θαυμάσιά σου ἅπαντα· ὅθεν σου τὴν μνήμην ποιοῦντες, ἀνυμνοῦμέν σε λέγοντες· Θεοῦ θεράπον γνήσιε, αἴτησαι ἡμῖν παρ' Αὐτοῦ τὸ μέγα ἔλεος.

*Ἦχος γ΄.*

Τὰς ἐκ Θεοῦ σοι δωρεάς, ἃς ἐξ αὐτοῦ ἀπείληφας ἔνδοξε, διὰ τῶν ἀσκητικῶν ἀγώνων σου, οἱ μετὰ σοῦ ἰδόντες παρ' ἐλπίδα, τὴν ὑπομονήν σου ἐθαύμασαν· ὁ δὲ τῆς ἐν Καρπάθῳ εὔσημος ποιμήν, αὐτόπτης τῶν πραχθέντων γεγονώς, κήρυξ πέφυκε σοῦ τῶν θαυμάτων διαπρύσιος· ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἱεράρχα θεοφόρε Πανάρετε, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν ἁγίαν μνήμην σου.

*Ἦχος δ΄.*

Ὁ ἐν Ὁσίοις Ὅσιος πιστοί, καὶ ἐν Ἱεράρχαις μέγιστος ποιμήν, ᾠδαῖς ᾀσμάτων , οὗτος μεγαλύνεται σήμερον ἡμῖν· τὸ γὰρ ὑστέρημα πληρώσας ὁ αὐτός,

τῶν Ἁγίων ἐν ὑστέροις καιροῖς, ὑπερβαλλόντως στεφανοῦται θείοις ᾄσμασιν· ἐν τούτοις καὶ ἡ Ἐκκλησία τοῦ Χριστοῦ εὐφραινομένη, τῷ ἑαυτῆς Νυμφίῳ κράζει λέγουσα· ἐλαμπρύνθη μου τὸ κάλλος σήμερον, ὑπὲρ πᾶσαν ἀστέρων θέσιν καὶ φωστήρων, τῇ τοῦ Ἱεράρχου σου κοιμήσει τοῦ σοφοῦ, καὶ ἱερουργοῦ σου Πανάρετε. Οὗ ταῖς ἱκεσίαις εὔσπλαγχνε, δώρησαι τῷ λαῷ σου τὸ μέγα ἔλεος.

*Δόξα Ἦχος πλ. α΄.*

Δεῦτε τῶν πιστῶν ὁ σύλλογος, τῷ Θεῷ δαυϊτικῶς σήμερον, ἐκβοήσωμεν λέγοντες· Μέγας εἶ Κύριε, καὶ τῇ μεγαλωσύνῃ σου, πέρας οὐκ ἔστιν ὅλως· ἰδοὺ γὰρ καὶ ἐν τῇ καθ’ ἡμᾶς γενεᾷ, ὁ ἔνδοξος Ἱεράρχης Πανάρετος, τοὺς ἀσκητικοὺς ἀγῶνας, τῶν ἀρχαίων ἐκλεκτῶν Ἱεραρχῶν Σου, ἐν ἑαυτῷ κατεστοίχωσε καὶ ᾠκοδόμησε, καὶ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου, δι’ ἑαυτοῦ τῷ κόσμῳ πεφανέρωκε. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς ἀξίωσον, τῆς οὐρανίου Σου Βασιλείας, ὡς φιλάνθρωπος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁ ἐν ὑστέροις καιροῦς, πιστοποιήσας τὰ τῶν πάλαι γραφόμενα, Ἁγίων ὡς πεπραγμένα, τοῖς ἀμελοῦσιν ἡμῖν, καὶ αὐτὰ ἐμπράκτως ἐξετέλεσας, Χριστοῦ γνησιώτατε, Ἱεράρχα Πανάρετε, ὁ ἁγιάσας, τὴν ψυχὴν σὺν τῷ σώματι, ὁ ἑνούμενος, Ἱεράρχαις Ὁσίοις τε· χαίροις ὁ παμφαέστατος, τῆς Πάφου καὶ

ἔμψυχος, λαμπτὴρ τῆς θείας σοφίας, δι᾽ ἧς τοὺς σοὺς κατεσόφισας, οἰκέτας τρισμάκαρ, ἐν τῇ θείᾳ σου κοιμήσει καὶ ἐστερέωσας.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Χαίροις, ὁ ἁγιάσας σαυτόν, πόνοις ἐνθέοις τῆς ἀσκήσεως Ὅσιε, καὶ ῥίψας σαρκὸς τὸ ἄχος, ὡς περιττὸν καὶ φθαρτόν, ὑπετάχθης ὅλος τοῖς τοῦ πνεύματος, ἀγῶσι μακάριε, ἐν νηστείαις καὶ δάκρυσι, καὶ ἀγρυπνίαις, καὶ παννύχοις δεήσεσι, πειζόμενος, βαρυτάταις ἁλύσεσιν, ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, Ἱεραρχῶν καὶ Ὁσίων, τὸ καθαρὸν ἐνδιαίτημα. Χριστὸν ἱκετεύων, μὴ ἐλλίπῃς ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Χαίροις, ὁ μνημονεύσας ἡμῖν, τῶν τεταρταίου ἀρετῶν Πάτερ Ὅσιε, οὗ θρονον ἐνεπιστεύθης, οὗ ἴσοις ὤφθης ἐν γῇ, ἔν τε τῇ βιώσει καὶ κοιμήσει σου· πασῶν γὰρ ἐκέκτησο, ἀρετῶν τὸ ἀγώγημα, καὶ ὑπεράνω, τῶν παθῶν διερχόμενος, ὄντως δέδειξαι, ἐν τῇ κλήσει Πανάρετος· ὅθεν καὶ τὴν ἁγίαν σου, ἐγνώρισεν ἅπασιν, ὅ τε ποιμὴν τῆς Καρπάθου, καὶ οἱ οἰκεῖοί σου ἅπαντες, μετάστασιν Πάτερ, δι᾽ ἧς ἔγνωσαν οἱ πάντες, ἅπερ οὐκ ἤλπιζον.

*Δόξα. Ἦχος δ΄.*

Τῶν Ἁγίων Πατέρων ὁ χορός, ὑποδεξάμενός σε τὸν ὅμοιον, σὺν τῷ ἀσπασμῷ τὸ Χαῖρε προσεφώνει σοι· ὁ

δὲ Κτίστης τῶν ἁπάντων, ὁ Βασιλεὺς τῶν οὐρανῶν, Χριστὸς ὁ Κύριος· Εὖ δοῦλέ σοι προσειπών, τὸ στέφος σοι προσέφερε τῆς νίκης, Ἱεράρχα θεοφόρε πανάρετε· διὸ καὶ νῦν τῷ θρόνῳ τοῦ Δεσπότου στεφηφόρος παριστάμενος, μὴ παύσῃ πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν μνήμην ἱερώτατε.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῆς Πάφου τὸν ποιμένα εὐφημοῦντες δοξάσωμεν, τὸν ἀσκητικῶς ἐν τῇ πόλει, ὡς ἐν ὄρει βιώσαντα, καὶ πάσας τὰς θείας ἀρετάς, ὡς μίαν κτησάμενος σοφῶς· διὰ τοῦτο ὡς Πανάρετος ἐκ Θεοῦ, τῷ κόσμῳ ἐθαυμαστώθη· καὶ πρεσβεύει τῷ Θεῷ ὑπὲρ πάντων ἐκτενῶς, ὡς Ἱεράρχης θεόληπτος.

*Δόξα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τὸν τῆς Πάφου ποιμένα θεῖον Πανάρετον, ὡς Χριστοῦ Ἱεράρχην ἀνευφημήσωμεν· ὅτι ἐργάτης συνετός, πασῶν τῶν θείων ἀρετῶν, καὶ ἐν Ἁγίοις θαυμαστός, ἐγένετο ἐν ὑστέροις, καιροῖς καὶ πάντων προστάτης, τῶν ἀνυμνούντων αὐτοῦ τὴν κοίμησιν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Μετέστης πρὸς Θεόν, ὁ Θεῷ ἐγνωσμένος, δι’ ἔργων ἀγαθῶν, ἃ ἐν γῇ κατειργάσω, συνήφθης τε τοῖς τάγμασιν, ἐκλεκτῶν ὡς ἐκλόγιον, τῶν Ὁσίων τε, Ἱεραρχῶν καὶ Δικαίων· μεθ’ ὧν πρέσβευε, ὑπὲρ ἡμῶν Ἰεράρχα, τῶν πίστει τιμώντων σε.

*Δόξα.*

Λιπὼν τὰ τῆς σαρκός, ἔτι ζῶν ἐν τῷ κόσμῳ, τὰ πνεύματος λαβών, οὐκ ἐδίστασας ὅλως, ἐχθροῦ τοῖς πανουργεύμασιν, Ἱεράρχα ἀλλ’ ἔδωκας, τῷ Δεσπότῃ σου, ψυχὴν καὶ σῶμα· διό σου, μεγαλύνομεν, τὴν ἀξιέπαινον μνήμην, Πανάρετε Ὅσιε.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὴν β’ στιχολογίαν,*

*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τῆς θείας χάριτος, μέτοχον γνήσιον, θεῖον Πανάρετον, ὑστέροις ἔτεσι, πῶς μὴ ὑμνήσω ἐν ᾠδαῖς, ἢ πῶς μὴ ἐγκωμιάσω; Οὗτος γὰρ ὡς Ἄγγελος, ἐν τῷ κόσμῳ ἐβίωσεν· οὗτος τὸ ὑστέρημα τῶν Ἁγίων ἐπλήρωσεν. Αὐτοῦ ταῖς ἱκεσίαις Οἰκτίρμον, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα.*

Ἐν τῇ βιώσει σου, Ἀγγέλους ηὔφρανας, τοὺς κατοπτεύσαντας, σοῦ τὰ ἐπίπονα, καὶ τοὺς οἰκείους σου σοφέ, ὁρῶντάς σου τὰ πρακτέα· ἐν δὲ τῇ κοιμήσει

σου, Ἱεράρχα Πανάρετε, πλεῖον ἐβεβαίωσας, τὴν ἐν σοὶ ἁγιότητα· διὸ καὶ ἡ ἑνοῦσά σοι κλῆσις, μᾶλλον ηὐξήθη ἐν τοῖς ἔργοις σου.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Κυβερνήτης ἔνδοξος, τῆς Ἐκκλησίας, ἀνεδείχθης Ὅσιε, καθοδηγῶν σοὺς φιτητάς, πρὸς τὸν πανεύδιον πάντοτε, τῆς εὐσεβείας, λιμένα Πανάρετε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Εὐαγγέλιον ἱεραρχικόν.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Χριστὲ ὁ Θεὸς ἡμῶν, τῶν Ἁγίων ἁπάντων ἡ βάσις καὶ τὸ στήριγμα, ὁ καὶ τὸν θεῖόν Σου Ἱεράρχην ἐνισχύσας Πανάρετον, ἀσκητικῶς ἀγωνισθῆναι ἐν τῷ κόσμῳ, ὡς οἱ πάλαι ἐν ἐρήμῳ, καὶ ἐν τοῖς ὑστέροις χρόνοις θαυμαστὸν ἀναφανῆναι τοῖς βροτοῖς· αὐτὸς καὶ νῦν

φιλάνθρωπε, δώρησαι ἡμῖν ταῖς αὐτοῦ ἱκεσίαις, τὸ μέγα ἔλεος.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς εἰς στ΄, καὶ τοῦ Ἁγίου εἰς η΄.

Ὁ Κανὼν τοῦ Ἁγίου.

*ᾨδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.*

Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί, πάντα καινὰ ὁρῶντες· δεῦτε συμφώνως καὶ ἡμεῖς, συγκροτήσωμεν πιστοί, καινὴν ἑορτήν· τὸν θεῖον Πανάρετον, τὸν τῆς Κύπρου τιμήσωμεν.

Ἀναστάσεως ἡμέρα τοῦ Σωτῆρος Χριστοῦ, καὶ μνήμη σοφοῦ ποιμένος, πᾶσιν ἀνέτειλεν ἡμῖν, τοῦ πρὸς Θεὸν ὑπὲρ ἡμῶν, πρεσβεύοντος νῦν· αὐτὴν ἑορτάσωμεν, ὅτι δεδόξασται.

Καθαρθεὶς νοὸς τὰς κόρας ἐθεάσω φωτός, ἀκτῖνα τοῦ τρισηλίου, δι᾽ οὗ τὸ σκότος τῶν παθῶν, πόῤῥῳ ἐδίωξας σοφέ, βιώσας ὡς ἄγγελος, θεόφρον Πανάρετε, καὶ Θεῷ εὐηρέστησας.

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψώμεθα, τὸν ἐν ὑστέροις καιροῖς, καλῶς ἁγιάσαντα, οὐχ ὡς ἐνασκήσαντα σπηλαίοις καὶ ὄρεσι, σοφῶς δὲ βιώσαντα, λαοῦ εἰς ἐνώπιον.

Οὐρανοὶ μὲν ἐπαξίως νῦν εὐφραίνονται, γῆ δὲ χορεύει πᾶσα, ἐπὶ τῇ μνήμῃ τῇ σῇ, Χριστοῦ μου Πανάρετε, καὶ Κύπρος δὲ ᾄσμασι, γεραίρει σε σήμερον.

*Θεοτοκίον.*

Πεῖραν ὅλως ἡ Παρθένος μὴ εἰδυῖα ἀνδρός, ἄχρονον τίκτεις βρέφος, ἄσπορον φέρεις τοκετόν, τὸν τῶν ὅλων Ποιητήν, Χριστὸν τὸν Θεόν, Αὐτὸν ἐκδυσώπησον, εἰρηνεύσαι τὰ σύμπαντα.

*ᾨδὴ γ΄. Δεῦτε πόμα πίωμεν καινόν.*

Δεῦτε πόμα πίωμεν καινόν, ἐκ πηγῆς καινοτάτης πάντες φιλέορτοι, τοῦ Ἱεράρχου τοῦ σοφοῦ, Χριστὸν τοῦ δοξάσαντος τρανῶς, ἐν βίου ὀρθότητι.

Δεῦτε εὐφημήσωμεν πιστοί, τὸν τοῦ Χριστοῦ Ἱεράρχην θεῖον Πανάρετον, τὸν μυστικὸν ὡς εικός, τοῦ ἀμπελῶνος ἐργάτην καὶ νῦν, τὸν ὄντως θεόφρονα.

Νῦν πάντες πληροῦνται χαρμονῆς, οἱ ἐν τῇ Πάφῳ πιστοὶ οἱ ἀκούσαντες, ἐπὶ τῇ μνήμῃ τῇ σῇ, Πανάρετε θείας σου φωνῆς, Χριστὸν μεγαλύνοντες.

Νέος θησαυρός τῇ τοῦ Χριστοῦ, Ἐκκλησίᾳ ἐδόθη θεῖε Πανάρετε· ἡ γὰρ ἐν σοὶ ἀρετή, ἐργηάτην σε ἔδειξε πιστόν, καὶ θεῖον ἐκφάντορα.

Χθὲς συνεσταυρώθης τῷ Χριστῷ, ἐν νηστείαις εὐχαῖς τε καὶ δάκρυσιν· ἀλλ’ ἐξανέστης αὐτῷ, τρυφῆς μετασχὼν ἐν οὐρανοῖς, Πανάρετε σήμερον.

*Θεοτοκίον.*

Ἐν βάτῳ Μωσῆς Σου τυπικῶς, τὸ μυστήριον πάλαι σεμνὴ ἑώρακεν· ὡς γὰρ ἐκείνη ἡ φλόξ, τὸ πῦρ τῆς θεότητος τὴν Σήν, μήτραν οὐ κατέφλεξεν.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὴν σοφίαν τὴν ἄνω καταμαθών, καὶ δεξάμενος πλοῦτον τὸν μυστικόν, τοῦτον ἐθησαύρισας, σεαυτῷ τὸν οὐράνιον, καὶ ἐν παννύχῳ στάσει, Θεὸν ἐξεζήτησας, καὶ εὑρὼν ἐν τούτῳ, εὐφραίνῃ μακάριε· ὅθεν τῶν σῶν πόνων, ἀμοιβὴν ἐκομίσω, ἐκ τούτου τὴν εὔκλειαν, καὶ τὸν στέφανον ἔνδοξε, Ἱεράρχα Πανάρετε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα.*

Προσευχῇ ἀεννάῳ καθοπλισθείς, καὶ νηστείαις ὁ μέγας ὀχυρωθείς, τὴν κλῆσιν εἰργάσατο, πρὸς τὴν πρᾶξιν κατάλληλον· οὗτος γὰρ τὴν σάρκα, πιέζων ἁλύσεσιν, ἐκ κρυπτῷ κοιτῶνι, ἠγρύπνει εὐχόμενος· ὅθεν καὶ τὴν θείαν, Λειτουργίαν ἐτέλει, περίδακρυς πάντοτε, σκεπτικὸς σύννους εὔτονος, ὁ θεόφρων Πανάρετος· οὗτος γὰρ Χριστῷ τῷ Θεῷ, συνευφραίνων τοῖς πιστοῖς τὴν ἄφεσιν, ἱκετεύων δωρεῖται, πταισμάτων ὁ ἔνδοξος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.*

Ἐπὶ τῆς θείας ἐκλογῆς, τῶν ἀγαθῶν Ἱεράρχα, στὰς ὁ τοῦ Χριστοῦ Ἱεράρχης, ἠγνοεῖται τέλεον, ἔκ τε λαοῦ θεόφρονος, ἔκ τε τοῦ κλήρου καὶ ἐξ οἰκείων· γνωστὸς γὰρ μόνῳ Θεῷ ἐδείκνυτο.

Ἐπὶ λυχνίας φωταυγοῦς, λύχνος ἐτέθης φαεινός, λάμπων ἀρετῶν ταῖς ἰδέαις, καὶ φωτίζων ἅπαντα, τὸ ἱερόν σου ποίμνιον, πᾶσιν ἀπονέμων τὴν χάριν, τῆς ἐν κρυφῇ σου τρισμάκαρ ἁγιότητος.

Ἀποτινάξας ἀπὸ σοῦ, πρόνοιαν πᾶσαν τῆς σαρκός, νῆψιν ἀγρυπνίαν καὶ στάσιν, καὶ νηστείαν ἤσκησας· σιδήροις πιεζόμενος, ἔνδον τῶν ἱματίων ἐτέλεις, τὰς πρὸς Θεὸν δεήσεις σου Πανάρετε.

Ὡς ἐνιαύσιος ἡμῖν, ἡ σὴ φωσφόρος ἑορτή, ἦλθεν ἱερώτε κύκλος, καὶ ὡς φῶς ἀνέτειλε, τοῖς τε συνεορτάζουσι, μνήμην σου τὴν θείαν τρισμάκαρ, καὶ τοῖς ποθοῦσί σου τρίβον ἀνύσασθαι.

Ὁ θεοπάτωρ μὲν Δαβίδ, ψάλλων φησὶ πρὸς τὸν Θεόν, Σοῦ δικαιοσύνην τὴν θείαν, ἱερεῖς ἐνδύσονται· διὸ ἐν σοὶ πεπλήρωται, σήμερον ὡς τοῖς πρὶν Ἱεράρχαις, δίκαιος καὶ Ὅσιος σοφὲ γενόμενος.

*Θεοτοκίον.*

Μόνη ἐφάνης γυναικῶν, χρῆμα πανθαύμαστον ἁγνή, πρᾶγμα φοβερόν· τὴν γὰρ φύσιν, Σὺ ἐκαινοτόμησας, ἄνευ σπορᾶς κυήσασα, μείνασα πάλιν ὡς πρὶν Παρθένος· ὁ γεννηθεὶς γὰρ ἐκ Σοῦ, Θεὸς ἐστὶν ἀληθής.

*ᾨδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

Ὀρθρίσωμεν σήμερον πάντες, καὶ τῷ κλεινῷ Ἱεράρχῃ, σοὶ προσοίσωμεν θεῖον ὕμνον· καὶ τὴν θείαν μνήμην σου δοξάζοντες Πανάρετε, χάριν ἀντλήσωμεν ἔνθεον.

Ὀρθρίζοντες ὑμνοῦμέν σε πάντες, τὸν ἐπ᾽ ἐσχάτων τῶν χρόνων, ἁγιάσαντα ἐν ἀσκήσει, καὶ ἐχρὸν πατήσαντα, ποσί σου τὸν ἀρχέκακον, Πάτερ Ἱεράρχα Πανάρετε.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, ὁ ἱερεὺς προϊδών, ὁ ἐπίορκος ἐθαμβεῖτο, καὶ ζητῶν συμπάθειαν, εὑρίσκει τὸ ποθούμενον, ἐκ σοῦ σοφὲ ἱερώτατε.

Τὴν ἄμετρόν σου κακουχίαν, προϊδόντες κρυπτῶς, Ἰεράρχα οἱ φοιτηταί σου, ἐμνημόνευον τὰ σὰ ἀγαλλομένῃ ψυχῇ, εἰ καὶ ἐν κρυπτῷ εἰργάζοντο.

Προσέλθωμεν ἐλπιδηφόροι, ἐπὶ τὸ κρεῖττον πιστοί, δεδορκότες τὰ ἐν ἐκβάσει, καὶ καλῶς ἐτάζοντες, τὰ ἐκ τούτου ἔσχατα, Δόξα Σοι Χριστὲ ἐκβοήσωμεν.

*Θεοτοκίον.*

Ἐκύησας φύσεως νόμῳ, ἀλλ᾽ ὑπὲρ νόμον· Σοῦ γὰρ μόνης ἄσπορος ἡ λοχεία, κρυπτὸς καὶ νοούμενος, ὁ τρόπος καὶ λεγόμενος, τοῦ τοκετοῦ Σου πανάμωμε.

*Ὠδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.*

Κατέγνως, ἐν τῷ διορατικῷ τῆς ψυχῆς, τὴν ταχεῖαν πρὸς Θεόν, ἐκδημίαν σου Πάτερ· ἣν καὶ γνωρίσας εὐθὺς τοῖς οἰκείοις σου, ἐκτενέστερον αὐτοί, τὰ ἐν σοὶ ἐπεσκόπουν.

Κατάκαρπος, ὡσεὶ ἐλαία φανείς, ἐν τῷ τῆς ἐξόδου σου καιρῷ ἀρετῶν πολυτρόπων, τοῖς ἑαυτοῦ τε κληρικοῖς καὶ πᾶσι γνωστοῖς, ὁ Πανάρετος φημί, ὁ τῆς Κύπρου προϊστωρ.

Φυλάξας, τὴν ποίμνην σου σώαν σοφέ, ἐξ αἱρέσεως πάσης, καὶ τὴν πίστιν τηρήσας ἀμώμητον, τῆς ἐξόδου σου Πανάρετε πανένδοξε, εὐτρεπίζεις τὴν τρίβον.

Φυλάξας τὴν ψυχήν σου καθαρὰν ἱερώτατε, καθαρῶς τῷ καθαρῷ, ᾠκειώθης Νυμφίῳ, ὃς προτρέπει σε σοφὲ τὰ ἐντάφια, ἑτοιμάσαι σου σαφῶς, καὶ τὸν τάφον ὀρύξαι.

Σῶτές μου παντέλεις Υἱὲ Θεοῦ, καὶ τῶν ὅλων Ποιητά, ταῖς τοῦ Σοῦ Ἱεράρχου, θείαις λιταῖς περιφρούρησον, ἀβλαβεῖς Σοὺς ὑμνητάς, ἐκ παντοίων κινδύνων.

*Θεοτοκίον.*

Θαυμάτων τὸ μέγιστον θαῦμα ἐν Σοί, ὤφθη ἄσπιλε ἀμνάς, τὸν γὰρ αἴροντα κόσμου τὴν ἁμαρτίαν, ἀμνὸν ἀπεκύησας· Ὃν δυσώπει ἐκτενῶς, ὑπὲρ τῶν Σε ὑμνούντων.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Τὸν νοῦν ἐλλαμφθείς, τῇ αἴγλῃ τοῦ Πνεύματος, ποιμὴν πρακτικός, ἐδείχθης ἱερώτατε· δι᾿ αὐτοῦ ἀπείληφας, τῶν θαυμάτων τὴν θείαν ἐνέργεια, καὶ ἐγένου Πανάρετος τῷ πράγματι, τὴν κλῆσιν ἐκ τῶν ἔργων κομισάμενος.

*Ὁ Οἶκος.*

Σοῦ τὴν μνήμην ἱερώτατε τελοῦντες, ἐπαξίως καὶ τὸν ὕμνον σοι προσφέρομεν· ὅτι τὸν ἀρχαῖο δράκοντα κατέβαλες, ἐν ἡμέραις ταῖς ἐσχάταις θείοις ἔργοις σου, καὶ ποιμὴν ἀνηγορεύθης Κύπρου ἄριστος, καὶ

αὐτὴν ἐφωταγώγησας πανένδοξε. Διὰ τοῦτο καὶ πᾶς πιστὸς συγχαίρει τῇ ἐνδόξῳ σου κοιμήσει Πάτερ Ὅσιε· ὅτι περ ἐν ἀρεταῖς διέπρεψας, θαυμαστὸς γενόμενος Ἱεράρχα Πανάρετε, τὴν κλῆσιν ἐκ τῶν ἔργων κομισάμενος.

*Συναξάριον*

Τῇ Α' τοῦ αὐτοῦ Μηνός, Μνήμη τοῦ Ἁγίου Παναρέτου, επισκόπου Πάφου.

*Πᾶσαν ἀρετήν, πρὸς ἑαυτὸν ἑλκύσας,*
*Πράξει τὴν κλῆσιν Πανάρετος καλύπτει*

*Ὠδὴ ζ΄. Ὁ παῖδας ἐκ καμίνου.*

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, Θεὸς τρισυπόστατος, ᾤκησεν ἐν σοί, τῇ καθαρᾷ σου βιοτῇ, καὶ τὰ ἄδηλα δῆλά σοι Ὅσιε, εἰργάσατο ὡς φασὶν οἱ αὐτόπται, τῆς ἐκδημίας σου Πανάρετε.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, αὐτός σου διήνοιξε, κόρας τοῦ νοός, καὶ τῆς ψυχῆς σου προέγνω τὸ ἔνδοξον, θεόφρον Πανάρετε· διὸ καὶ ἀνέκραζες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Γυναῖκες μετὰ μύρων θεόφρονες, Χριστοῦ τάφῳ ἔδραμον· σοῦ δὲ τῇ ταφῇ, λύπῃ συνείχοντο πολλοί, καὶ ἐξόχως τῆς Κύπρου οἱ τρόφιμοι, σὺν τούτοις καὶ Καρπάθου, ὁ ἱερώτατος Παρθένιος.

Γυναῖκες σὺν ἀνδράσι θεόφρονες, καὶ αὐτοὶ οἱ οἰκέται σου, μέμνηνται τῆς σῆς, ἱερωτάτης βιοτῆς, Ἱεράρχα Χριστοῦ μου Πανάρετε, καὶ βοῶντες

ἀλλήλοις ἐκραύγαζον· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ὄντως ἱερά σου ἡ ἔξοδος, Πανάρετε ἔνδοξε· αὕτη σου καὶ γάρ, καταφωτίζουσα πιστούς, ἐγκαινίζει αὐτοῖς τά τε ὅσια, τῶν πρώην θεοφόρων τὰ ἔργα, Ἱεραρχῶν τε καὶ Ὁσίων ὁμοῦ.

*Θεοτοκίον.*

Θανάτου καθαιρέτης ὁ τόκος Σου, Δέσποινα πανάμωμε, γέγονε καὶ γάρ, ἐκ τῶν νεκρῶν ἐξαναστάς, συνεξήγειρε τὰ τάγματα τῶν Ἁγίων, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

*Ὠδὴ η΄. Αὕτη ἡ κλητή.*

Αὕτη ἡ κλητή, καὶ ἁγία ἡμέρα, ἥπερ τοῦ Ἱεράρχου, Παναρέτου τὴν μνήμην, ὥσπερ ἥλιος σελήνην ἐνθέως κατηύγασεν· ἐν ᾗ καὶ ὑμνοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Αὕτη ἡ κλητή, καὶ ἁγία ἡμέρα, ἐγέρσεως Κυρίου, δι’ ἧς ἡ θεία σου μνήμη, ὡς ἡμέρα ἐξ ἡλιακοῦ φωτὸς καταλάμπεται, ἐν ᾗ σε ὑμνοῦμεν, τὸν θεῖον Ἱεράρχην.

Δεῦτε τὴν καινήν, ἑορτὴν τοῦ Ὁσίου, καιναῖς ὑμνολογίαις, νῦν ἑορτάσωμεν πάντες· ἀμφοτέρωθεν γάρ, τέρπει φιλεόρτων τὰ συστήματα, μέσον ὡς ἑστῶσα, τῶν ἑορτῶν τοῦ Δεσπότου.

Ἆρον κύκλῳ, τοὺς ὀφθαλμούς σου, λαὸς Κυρίου, καὶ ἴδε τὴν ἡμέραν, ἐν ᾗ τελεῖται ἡ μνήμη, Παναρέτου τοῦ καλοῦ κἀγαθοῦ ποιμένος σου, καὶ Χριστὸν ἀνύμνει, αὐτὸν εἰς τοὺς αἰῶνας.

*Τριαδικόν.*

Πάτερ Παντοκράτος, καὶ Λόγε καὶ Πνεῦμα, ἡ ἄναρχος οὐσία, ἡ ἀκατάληπτος φύσις, ὁ Θεὸς τοῦ παντός, πάσης θλίψεως, τὸν σὸν λαὸν ἐξέλου, ταῖς τοῦ Σοῦ ὦ Τριάς, Ἱεράρχου πρεσβείαις.

*Θεοτοκίον.*

Μόνη ἐν μητράσιν, ἐδείχθης παρθένος, θεόνυμφε Μαρία, ἄνευ ἀνδρός τετοκυῖα, τὸν Σωτῆρα Χριστόν, τῆς ἁγνείας τὴν σφραγίδα φυλάξασα· Σὲ μακαριοῦμεν, πιστοὶ εἰς τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Φωτίζου, φωτίζου.*

Φωτίζου εὐφραίνου, τῶν ὀρθοδόξων ἡ πληθύς· κατ'ἐξαίρετον σκίρτα, Κύπρος ἡ πλουτήσασα, τὸν πρὸς Θεόν, πρέσβυν κρατιαόν, θεῖόν τε φρουρὸν καὶ προστάτην, τὸν ἐν Ἁγίοις Πανάρετον.

Φωτίζου φαιδρύνου, ἡ Ἐκκλησία τοῦ Χριστοῦ· καὶ γὰρ νέα φαιδρότης, νῦν σε κατεκόσμησε· χόρευε οὖν, καὶ ἀγάλλου φαιδρῶς, ἐπὶ τοῦ σοῦ, θείου τε φωστῆρος, τῇ μνήμῃ τοῦ σὲ κοσμήσαντος.

Ὢ θείας ὢ φίλης, ὢ μακαρίας τελευτῆς, δι' ἧς μέτοχος ὤφθης, τῶν προκρίτων Ὅσιε, Ἱεραρχῶν τῶν ἐπὶ τῆς γῆς, ἀσκήσει λαμψάντων, μεθ' ὧν σε γεραίρομεν, πρεσβευτὰ ἡμῶν Πανάρετε.

Ὢ θείας καὶ μόνης, δόξης τῆς ἄνω ἣν τρυφᾶς, Ἱεράρχα Κυρίου, τοῦ Χριστοῦ Πανάρετε· χόρευε οὖν, καὶ πρεσβείαν ποιοῦ, ὑπὲρ ἡμῶν, τῶν ἀεί τιμώντων, τὸ ἱερόν σου μνημόσυνον.

Ὢ Πάτερ καὶ Λόγε, καὶ θεῖον Πνεῦμα καὶ σεπτόν, ὢ Τριὰς ὁ Θεός μου, ταῖς τοῦ Σοῦ θεράποντος, θείαις λιταῖς, ἄφεσιν πταισμάτων, δώρησαι νῦν, ἡμῖν τοῖς Σοῖς δούλοις, καὶ Βασιλείας Σου ἀξίωσον.

*Θεοτοκίον.*

Τὸ ὄρος τὸ μέγα, ἐν ᾧ κατῴκησε Χριστός, Σὺ ὑπάρχεις Παρθένε, ὡς βοᾷ ὁ θεῖος Δαβίδ· δι᾽ ἧς ἡμεῖς ἀνυψώθημεν πρὸς οὐρανόν, υἱοθετηθέντες, τῷ πνεύματί Σου θεονύμφευτε.

*Ἐξαποστειλάριον. Σαρκὶ ὑπνώσας ὡς θνητός.*

Ποιμὴν τῆς Πάφου γεγονώς, ἐν ἀρεταῖς διεπρέψας, Πανάρετε Ἱεράρχα, πρᾶξιν ὡς κλῆσιν ἐσχηκώς, καὶ μεταστὰς τοῦ βίου σου, τῷ σῷ Δεσπότῃ παρέστης, ὑπὲρ ἡμῶν τοῦ πρεσβεύειν.

*Ἕτερον.*

Τῶν ἀρετῶν τὸν ὁρμαθόν, πασῶν ἐκτήσω Ὅσιε, Πανάρετος ἐπεκλήθης, ὅθεν προσήγγισας Θεῷ, καὶ καθορᾷς τοὺς πίστει σοι, ἐπιτελοῦντας σὴν μνήμην, καὶ σὲ μεγαλύνοντας.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.*

Οὐρανόθεν τὴν χάριν δεδεγμένος, ὅτε ἠκολούθησας, μάκαρ τῷ Κτίστῃ σου, καὶ σοῦ τὸν νοῦν ἀνεπτέρωσας, θείᾳ μελέτῃ, πρὸς θεῖον ὕψος τότε καὶ πέπωκας, νάμα τὸ οὐράνιον χαίρων Πανάρετε, καὶ τὴν ψυχὴν ἀνεζώωσας, τῇ θείᾳ πόσει, τῶν ζωηῤῥύτων

πηγῶν τοῦ Πνεύματος· ὅεθν ἐν πόλει ὡς εἰς ἔρημον, μιμηθεὶς βιοτὴν την ἰσάγγελον, κεκρυμμένως διῆλθες, τοὺς ἀγῶνας τῆς ἀσκήσεως.

Τοὺς σοὺς ἀγῶνας Πανάρετε θεόφρον, στάσιν τὴν ὁλόνυκτον, εὐχὴν τὴν ἄπαυστον, τῆς ἐγκρατείας τὸ μέγεθος, τοῦ σοῦ ποιμνίου, πρόνοιαν πᾶσαν τίς διηγήσεται; Ζῶν γὰρ ὡς ἰσάγγελος πάντων ἀφέστηκας, τῶν τε ἡδέων τὸ μάταιον, καὶ τὰ πα΄ροντα, ὑπερπηδήσας ὅλος οὐράνιος, ὤφθης ἐν μέσῳ, τύρβης Ὅσιε, καὶ ἐδέξω ὡς ἄλλος Ἀπόστολος, τὴν τοῦ Πνεύματος χάριν, οἰκονόμος ὡς πιστότατος.

Τῷ πιεσμῷ τῆς ἁλύσου καὶ νηστείας, συσχεθεὶς ὁ Ὅσιος, θαυμάτων εἴληφε, τὴν θείαν χάριν καὶ ἤγειρε, τὸν ἱερέα, αἰσχοκερδίς λύμῃ τηκόμενον· ὅθεν καὶ πρὸς θάνατον ἐγγίσας ἔδειξε, τὴν τῶν θαυμάτων ἐνέργειαν, ἁγιωσύνῃ, καὶ ὁσιότητι ὡς κατάκομος· καὶ τούτων Μάρτυς ὁ Παρθένιος, τῆς Καρπάθου ποιμὴν ὁ σεβάσμιος, ὃς αὐτόπτης ἐδείχθη, τῆς Ἁγίου μεταστάσεως.

Τὴν τῶν θαυμάτων ἐνέργειαν τὸ σῶμα, σοῦ καὶ μετὰ θάνατον μάκαρ ἐπλο΄τησε· καὶ μαρτυροῦσιν οἱ φύλακες, οἳ σοῦ τὸν τάφον, ὡς τοῦ Δεσπότου φυλάττειν ἔσπευδον, Ἱεράρχα Ὅσιε Χριστοῦ Πανάρετε· οὕτω γὰρ οἶδεν ὁ Κύριος, δοξάζειν πάντας, τοὺς τοῦτον ἔργοις ἀντιδοξάζοντας· ὅθεν ὡς μύστης θείας χάριτος, ἱκετεύων μὴ παύσῃ πρὸς Κύριον, ὑπὲρ πάντων τῶν πίστει, σοῦ τελούντων τὸ μνημόσυνον.

*Δόξα. Ἦχος πλ. α΄.*

Τὴν ἱερατικήν σου διπλοΐδα, Πάτερ Ὅσιε, τοῖς ἀσκητικοῖς σου πόνοις ἐξύφανας, τῇ ἁγιωσύνῃ συνέῤῥαψας, καὶ τοῖς θαύμασιν αὐτὴν κατεκόσμησας, ἐτελεσιούργησας. Καὶ τὰ μὲν τῆς ἀπ᾽ ἀρχῆς βιοτῆς ἐπίπονα, ἡ ἔνδοξός σου κοίμησις, τοῖς πᾶσιν ἐφανέρωσε Πανάρετε· τὰ δὲ μετὰ πότμον γέρα σοι, ἡ πρὸς Θεόν σου παῤῥησία, ἡ ἐν θαύμασιν ἡμῖν μαρτυρουμένη, βεβαιοῖ τοῦ ἔργου τὴν ἀσφάλειαν. Ταύτης οὖν ἐντυγχάνων ἔνδοξε, ὑπὲρ τῶν τελούντων σου τὴν μνήμην, μὴ ἐλλίπῃς πρεσβεύειν πρὸς Κύριον.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

